23 Καὶ ἀνεπαύσατο Σαλωμων μετὰ τῶν πατέρων αὐτοῦ
καὶ κατέλιπεν μετ᾽ αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ
λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συνέσει
Ροβοαμ, ὃς ἀπέστησεν λαὸν ἐκ βουλῆς αὐτοῦ.
24 καὶ Ιεροβοαμ υἱὸς Ναβατ, ὃς ἐξήμαρτεν τὸν Ισραηλ
καὶ ἔδωκεν τῷ Εφραιμ ὁδὸν ἁμαρτίας·
καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα
ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν·
25 καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν,
ἕως ἐκδίκησις ἔλθῃ ἐπ᾽ αὐτούς.
48 1 Καὶ ἀνέστη Ηλιας προφήτης ὡς πῦρ,
καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο·
2 ὃς ἐπήγαγεν ἐπ᾽ αὐτοὺς λιμὸν
καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς·
3 ἐν λόγῳ κυρίου ἀνέσχεν οὐρανόν,
κατήγαγεν οὕτως τρὶς πῦρ.
4 ὡς ἐδοξάσθης, Ηλια, ἐν θαυμασίοις σου·
καὶ τίς ὅμοιός σοι καυχᾶσθαι;
5 ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου
καὶ ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου·
6 ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν
καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν·
7 ἀκούων ἐν Σινα ἐλεγμὸν
καὶ ἐν Χωρηβ κρίματα ἐκδικήσεως·
8 ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα
καὶ προφήτας διαδόχους μετ᾽ αὐτόν·
9 ὁ ἀναλημφθεὶς ἐν λαίλαπι πυρὸς
ἐν ἅρματι ἵππων πυρίνων
10 ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιροὺς
κοπάσαι ὀργὴν πρὸ θυμοῦ,
ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν
καὶ καταστῆσαι φυλὰς Ιακωβ.
11 μακάριοι οἱ ἰδόντες σε
καὶ οἱ ἐν ἀγαπήσει κεκοιμημένοι·
καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα.
12 Ηλιας ὃς ἐν λαίλαπι ἐσκεπάσθη,

$23^{1}$ αυτου > B | $23^{4}$ ος > S*† | λαον] pr. τον A† || $24^{1}$ υιον BA† | $24^{4}$ της > S† || $25^{2}$ εως] ως A†

48 $3^{2}$ ουτως > Sc || $4^{1}$ θαυμ.] pr. τοις B | $4^{2}$ καυχησεται SA || $9^{1}$ λαμπαδι A† || $10^{1}$ εν ελεγμ.] ελεγμος A | εις > S*† | $10^{3}$] pr. και B || $11^{1}$ ειδοτες S | $11^{2}$ αγαπησει] -πη S*†, -πησ⟨ε⟩ι σου Sc | κεκοιμ. compl.] κεκοσμ. B SA | $11^{3}$ ζωης S*A†